'ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος,'
'οἱ δὲ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν.'

ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ
κεχαρισμένως ἐπιτηδεύοντας λέγειν καὶ τὸν βίον ὡς τὰ πολλὰ
ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. καὶ νὴ Δί' εἰκότως.
εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες ἀμελοῦσι τοῦ καλοῦ,
σχολῇ γ' ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ
ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, [ἢ] τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ C
διώκοντες. πρὸς δὲ τούτοις . . τί ἂν τοὺς παῖδας . . . . καλὸν
γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν μήτε πράττειν, καὶ κατὰ τὴν
παροιμίαν 'χαλεπὰ τὰ καλά'. οἱ δ' αὐτοσχέδιοι τῶν λόγων
πολλῆς εὐχερείας καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις, οὔθ' ὅθεν
ἀρκτέον οὔθ' ὅποι παυστέον ἐστὶν εἰδότων. χωρὶς δὲ τῶν ἄλ-
λων πλημμελημάτων οἳ ἂν ἐκ τοῦ παραχρῆμα λέγωσιν, εἰς
ἀμετρίαν δεινὴν ἐκπίπτουσι καὶ πολυλογίαν. σκέψις δ' οὐκ ἐᾷ
τῆς ἱκνουμένης συμμετρίας τὸν λόγον ἐκβαίνειν. ὁ Περικλῆς,
ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου πολ- D
λάκις οὐχ ὑπήκουσε, λέγων ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ
Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος καλούν-
των αὐτὸν τῶν Ἀθηναίων σύμβουλον ἀντέβαινεν 'οὐ συντέ-
ταγμαι' λέγων. καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι καὶ πε-
πλασμένη παράδοσις· ἐν δὲ τῷ κατὰ Μειδίου τὴν τῆς σκέψεως
ὠφέλειαν ἐναργῶς παρίστησι. φησὶ γοῦν (191) 'ἐγὼ δ' ἐσκέφθαι
μὲν ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι φημὶ κοὐκ ἂν ἀρνηθείην καὶ μεμε-